ἀλθέξεως οἱ ἀσφαλεϛάτȣς τρόπȣς·
κἄπειτ᾽ ἐρευνᾷν τὰς ῥοπὰς ἃς ἡ φύσις κη. 604
δείκνυσιν εὐθύνȣσα δρῶντος ἐκρόȣς. ις. 329
κἀντεῦθεν ἐνδείξεις μὲν ὀρθὰς λαμβάνειν,
χρῆσθαι δὲ ταῖς δε πρὸς νοσȣ́ντων ξυμφέρον.

Λ. Κατ᾽ ἴχνος ȣ̓͂ν βαίνοντα τῇσδ᾽, οἶμ᾽, εὐσκόπως, κθ. 605
ἣν μὲν κατ᾽ ἀρχὰς τῶν νόσων κινεῖν δέῃ (ρ)
ὀργῶντα χυμὸν, ἐς τάχος κινεῖν ὅσον, ιε. 296
ποιȣ̃ντα πρόσθεν εὔροον ξύμπαν δέμας, κθ. 622
τί δ᾽ ἄλλο τȣ̃τ᾽ ἤγ᾽ εὐδιάπνȣν δρᾷν τόδε
καὶ λεπτόχυμον εὖ τ᾽ ἀνεϛομωμένον·
τȣ́των δ᾽ ἐς ἀκμὴν εὐλαβεῖσθαί πως δέον (σ),
προευτρεπίζειν χυμὸν ὡς εἰκός δ᾽ ὅμως,
ἀεί τε σώζειν εὔροον ξύμπαν δέμας,

Προθεσμία. κἀπισκοπεῖν ἔπειτα τὴν προθεσμίαν (τ).
ἤγ᾽ ἐνθάδ᾽ ȣ̓δὲν ἢ πεπάνσεως χρόνος (υ)
χυμȣ̃ς καθ᾽ ὃν τίθησιν ὀργῶντας φύσις (φ), ις. 318
ἐπ᾽ ἔκκρισιν δὴ τȣ́σδ᾽ ἐπιῤῥεπεϛέρȣς,
κρίσεις τελεῖ δ᾽ ἔπειτα τὰς σωτηρίȣς, ις. 330

Καιρὸς. ὅγ᾽ ἐς ἀκεσμῶν ἀσφαλὴς ἐγκαιρία.

ἐκ

---

(ρ) Ἀφορ. β. κθ. Α. κβ. κδ. Δ. ι. (σ) περὶ νȣ́σ. Α. δ. διαίτ. ὀξ. ι. (τ) Γαλην. διαφορ. πυρετ. β. Ἀρετ. Καππαδ. θεραπ. χρον. παθ. Α. δ. (υ) περὶ ἀρχαίης Ἰητρικ. λε. (φ) ἐπιδημ. Α. β.